λό(γος) η'

μεθ' οὗ τῷ πατρὶ δόξα· ἅμα
τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς
αἰῶνας,
τῶν αἰώ
νων·
ἀμήν :–

+ Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
Ἰωάννου τοῦ Χρυσοστόμου κατὰ αἱρετικῶν
καὶ εἰς τὴν αἴτησιν τῶν
υἱῶν Ζεβεδαίου.
λόγος η'
κύριε εὐλόγησον :–

Ἐκ πολέμου χθὲς ἐπανήλ
θομεν· ἐκ πολέμου
καὶ μάχης αἱρετικῆς, ᾑ
μαγμένα τὰ ὅπλα ἔχον
τες· τὸ ξίφος τοῦ λόγου πε
φοινιγμένον· οὐ σώμα
τα καταβαλόντες· ἀλλὰ
λογισμοὺς ἀνελόντες.
καὶ πᾶν ὕψωμα ἐπαιρό
μενον κατὰ τῆς γνώσε
ως τοῦ θεοῦ· τοιοῦτον γὰρ
τῆς μάχης τὸ εἶδος· διὸ
καὶ τοιαύτη τῶν ὅπλων

ἡ φύσις· ἅπερ ἀμφότερα
διδάσκων ὁ μακάριος παῦ
λος, ἔλεγεν· τὰ γὰρ ὅπλα
τῆς στρατείας ἡμῶν. οὐ
σαρκικά· ἀλλὰ δυνατὰ τῷ
πρὸς καθαίρεσιν ὀχυρω
μάτων· λογισμοὺς καθαι
ροῦντες· καὶ πᾶν ὕψω
μα ἐπαιρόμενον κατὰ
τῆς γνώσεως τοῦ θεοῦ· ἔ
δει μὲν ὅσων ἡμῖν τοῖς ἀπο
λειφθεῖσιν· εἰπεῖν τὰ
πτώματα τὰ χθὲς γενό
μενα· καὶ διηγήσασθαι
τὴν παράταξιν· τὴν συ
μπλοκήν· τὴν νίκην· τὰ
τρόπαια· ἀλλ' ἵνα καὶ εὐ
θυμοτέρους ὑμᾶς ποιή
σωμεν· ταῦτα παραδρα
μόντες· ὥστε τῇ ζημίᾳ
τοὺς ἀπολειφθέντας,
δηχθέντας σπουδαιοτέ
ρους γενέσθαι· πάλιν τῆς
ἐξῆς ἁψόμεθα σήμερον·
ε ἰδὲ ἐπεὶ σπουδαῖος καὶ δι
εγηγερμένος. παρὰ τῶν
παραγενομένων ἔσται τὰ

UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_15/0148